Πορθμοὶ

# Βόσπορος. Προποντίς.

327

« Περὶ μὲν οὖν τῶν πλημμυρίδων καὶ τῶν ἀμπώτεων. Στραβ. Α
ρήκασιν ἱκανῶς Ποσειδώνιός τε καὶ Ἀθηνόδωρος, περὶ δὲ 55
τῆς τῶν πορθμῶν παλιρροίας, ἐχόντων καὶ αὐτῶν φυσικώτε-
ρον λόγον ἢ κατὰ τὴν νῦν ὑπόθεσιν, τοσοῦτον εἰπεῖν ἀ-
πόχρη, ὅτι οὐδὲ εἷς ὁ τρόπος τοῦ ῥοώδεις εἶναι τοὺς πορθμούς, οὔτε
καθ᾽ ἕκαστον γὰρ ἂν ὁ μὲν Σικελικὸς δὶς ἑκάστης ἡμέρας με-
τέβαλλεν, ὡς ἐκεῖνός φησιν, ὁ δὲ Χαλκιδικὸς ἑπτάκις, ὁ δὲ κατὰ
Βυζάντιον οὐδὲ μετέβαλλεν, ἀλλὰ διετέλει τὸν ἔκρουν μό-
νον ἔχων τὸν ἐκ τοῦ Ποντικοῦ πελάγους εἰς τὴν Προποντί-
δα, ὡς δὲ Ἵππαρχος ἱστορεῖ καὶ μονάς ποτε ἐποιεῖτο) ἀλλ᾽ εἰ τρό-
πος εἷς εἴη, ταύτην ἂν ἔχοι τὴν αἰτίαν, ἥν φησιν ὁ Ἐρα-
τοσθένης, ὅτι ἡ ἐφ᾽ ἑκάτερα θάλαττα ἄλλην καὶ ἄλλην ἐπι-
φάνειαν ἔχει· οὐδὲ γὰρ ἐπὶ τῶν ποταμῶν τοῦτο γένοιτ᾽ ἄν,
πλὴν καταρράκτας ἔχοιεν . . . »

« . . εἰ γὰρ ὁ διὰ Ῥόδου καὶ Βυζαντίου μεσημβρινὸς ὀρθῶς B. 70
εἴληπται, καὶ ὁ διὰ τῆς Κιλικίας καὶ Ἀμισοῦ ὀρθῶς ἂν εἴη εἰ-
λημμένος, φαίνεται γὰρ τὸ παράλληλον ἐκ πολλῶν, ὅταν
μηδετέρως ἡ σύμπτωσις ἀπελέγχηται. »

Βόσπορος. Προποντίς.

Πόντος. Ιερόν Βυζαντίων

«Υπέρκειται δε της εωθινης κόλπου· προς άρκτον η Μαιώτις λίμνη την περίμετρον έχουσα εννακισχιλίων σταδίων η και μικρώ πλειόνων· εκδίδωσι δ' αύτη μεν εις τον Πόντον κατα τον Κιμμερικον καλούμενον Βόσπορον, ούτος δε κατα τον Θράκιον εις την Προποντίδα· το γαρ Βυζαντιακον στόμα ούτω καλούσι Θράκιον Βόσπορον, ο τετραστάδιον εστιν· η δε Προποντις χιλίων η πεντακοσίων λέγεται το μήκος σταδίων το απο της Τρωάδος επι το Βυζάντιον· παραπλήσιον δέ πως εστι και το πλάτος. ενταύθα δ' η των Κυζικηνών ίδρυται νήσος και τα περι αυτήν νησία.» Στρ. Β. 125. 23.

«αι δε Κυάνεαι προς τω στόματι του Πόντου εισι δύο νησίδια, το μεν τη Ευρώπη προσεχες το δε τη Ασία, πορθμώ διειργόμενα όσον είκοσι σταδίων. τοσούτον δε διέχει και του ιερού του Βυζαντίων και του ιερού των Χαλκηδονίων, όπερ εστι του στόματος του Ευξείνου το στενώτατον· προϊόντι γαρ δέκα σταδίους άκρα εστι πενταστάδιον ποιούσα τον πορθμόν, είτα διΐσταται επι πλέον και ποιείν άρχεται την Προποντίδα.» 319.

Βόσπορος Θράκιος πρότερον Μύσιος.
Δολίων· ὅτι Θρᾷκες οἱ Μυσοί.

Στρ. ΙΒ'. 566. „Ἔτι δ' ἡ κατοικία Μυσῶν ἡ Βιθυνία ὑπῆρξεν· καὶ μαρτυρεῖ Σκύλαξ ὁ Καρυανδεὺς φήσας περιοικεῖν τὴν Ἀσκανίαν λίμνην Φρύγας καὶ Μυσούς, ἔπειτα Διονύσιος ὁ τὰς κτίσεις γράψας, ὃς τὰ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον στενά, ἃ νῦν Θρᾴκιος Βόσπορος καλεῖται, πρότερόν φησι Μύσιον Βόσπορον προσαγορεύεσθαι· τοῦτο δ' ἄν τις καὶ τοῦ Θρᾷκας εἶναι τοὺς Μυσοὺς μαρτύριον θείη. ὅ τε Εὐφορίων „Μυσοῖο παρ' ὕδασιν Ἀσκανίοιο" λέγων, καὶ ὁ Αἰτωλὸς Ἀλέξανδρος „οἳ καὶ ἐπ' Ἀσκανίων δώματ' ἔχουσι ῥοῶν, λίμνης Ἀσκανίης ἐπὶ χείλεσιν, ἔνθα Δολίων υἱὸς Σιληνοῦ νάσσατο καὶ Μελίης" τὸ αὐτὸ μαρτυροῦσιν, οὐδαμοῦ τῆς Ἀσκανίας λίμνης εὑρισκομένης ἀλλ' ἐνταῦθα μόνον."

Βόσπορος. Θρᾴκιος πρότερον Μύσιος.
Δολίων ὁ Θρᾷξ ἢ Μυσός.

330

Στρ. 12.566. ἔστι δ' ἡ κατοικία Μυσῶν ἡ Βιθυνία πρότερον μαρτυρεῖ Σκύλαξ ὁ Καρυανδεὺς φήσας περιοικεῖν τὴν Ἀσκανίαν λίμνην Φρύγας καὶ Μυσούς, ἔπειτα Διονύσιος ὁ τὰς κτίσεις συγγράψας, ὃς τὰ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον στενά, ἃ νῦν Θρᾴκιος Βόσπορος καλεῖται, πρότερόν φησι, Μύσιον Βόσπορον προσαγορεύεσθαι· τοῦτο δ' ἄν τις καὶ τοῦ Θρᾷκας εἶναι τοὺς Μυσοὺς μαρτύριον. ὅ τε Εὐφορίων „Μυσοῖο παρ' ὕδασιν Ἀσκανίοιο" λέγων καὶ ὁ Αἰτωλὸς Ἀλέξανδρος οἳ καὶ ἐπ' Ἀσκανίῳ δώματ' ἔχουσι ῥόῳ λίμνης Ἀσκανίης ἐπὶ χείλεσιν, ἔνθα Δολίων υἱὸς Σιληνοῦ νάσσατο καὶ Μελίης τὸ αὐτὸ ἐμμαρτυροῦσιν, οὐδαμοῦ τῆς Ἀσκανίας λίμνης εὑρισκομένης ἀλλ' ἐνταῦθα μόνον.

# Βόσπορος.

c. 125 . . . ἐκδίδωσι δ' αὕτη κεν (ἡ Μαιῶτις) Στράβων
ἐς Πόντον κατὰ τὸν Κιμμερικὸν καλούμενον Βόσ- Β Σελ. 168.
πορον, οὗτος δὲ καθὰ τὸν Θρᾴκιον ἐς τὴν Προ-
ποντίδα. τὸ γὰρ Βυζαντιακὸν στόμα οὕτω καλοῦσι
Θρᾴκιον Βόσπορον, δ' σταδίων ἐστίν

c. 566. ὅτι δ' ἦν κατοικία Μυσῶν ἡ Βιθυνία πρῶ- ΙΒ. σελ. 794
τον μαρτυρεῖ Σκύλαξ ὁ Καρυανδεὺς φήσας πε-
ριοικεῖν τὴν Ἀσκανίαν λίμνην Φρύγας καὶ Μυσούς,
εἶτα Διονύσιος ὁ τὰς κτίσεις συγγράψας, ὃς τὰ
κατὰ Χαλκηδόνα καὶ Βυζάντιον στενά, ἃ νῦν Θρᾴ-
κιος Βόσπορος καλεῖται, πρότερά φησι Μύσιον
Βόσπορον προσαγορεύεσθαι